5 Ζηνὶ ⌊παρισταμένα⌋
κρίνε⌊ις τέ⌋λ̣⌊ο⌋ς̣ ἀθανάτοι-
σίν τε ⌊καὶ θ⌋νατοῖς ἀρετᾶς·
8 ἔλλαθι, [βαθυ]π⌊λοκάμου
κούρα Σ̣[τυγὸς ὀρ]θοδίκου· σέθεν δ' ὅκατι
10 καὶ νῦ[ν Μετ]απόντιον εὐ-
γυίων κ̣[ατέ]χουσι νέων
12 κῶμοί τε καὶ εὐφροσύναι θεότιμον ἄστυ·
ὑμνεῦσι δὲ Πυθιόνικον
παῖδα θαητ[ὸ]ν̣ Φαΐσκου.
1 ἵλεῴι [ν]ιν ὁ Δα̣[λ]ογενὴς υἱ-
ὸς βαθυζώνο[ιο] Λατοῦς
3 δέκτ[ο] β̣⌊λεφ[άρω]ι̣· πολέες
δ' ἀμφ' Ἀλεξ[ίδα]μον ἀνθέων
5 ἐν πεδίωι στέφανοι
Κίρρας ἔπεσον κρατερᾶς
ἦρα παννίκοι⟨ο⟩ πάλας·
8 οὐκ ε̣[ἶ]δέ νιν ἀέλιος
κείνωι γε σὺν ἄματι πρὸς γαίᾶι πεσόντα.
10 φάσω δὲ καὶ ἐν ζαθέοις
ἁγ⌊νοῦ Πέλοπος δαπέδοις
12 Ἀλφεὸν πάρα καλλιρόαν, δίκας κέλευθον
εἰ μή τις ἀπέτ⌊ραπεν ὀρθᾶς,
παγξένωι χαίταν ἐλαίᾶι
1 γλαυκᾶι στεφανωσάμενον
πορτιτ⌊ρόφο̣ν̣ [. . . .].′[. . . . .]ρ̣α̣ν θ' ἱκέσθαι.